τοῦ συμφέροντος, ἀλλ' ἐλήρησεν εἰπὼν ὁ Σοφοκλῆς ὅτι | (OR 110)

'πᾶν τὸ ζητούμενον 98
ἁλωτόν, ἐκφεύγει δὲ τἀμελούμενον'

καὶ πάλιν αὖ τὰ πράγματα διαιρῶν (fr. 759)

'τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετὰ
ζητῶ, τὰ δ' εὐκτὰ παρὰ θεῶν ᾐτησάμην'.

τί γὰρ εὑρετὸν ἢ τί μαθητόν ἐστιν ἀνθρώποις, εἰ πάντα περαίνεται κατὰ τύχην; ποῖον δ' οὐκ ἀναιρεῖται βουλευτήριον πόλεως ἢ ποῖον οὐ καταλύεται συνέδριον βασιλέως, εἰ ὑπὸ τῇ Τύχῃ πάντα ἐστίν; ἣν τυφλὴν λοιδοροῦμεν, ὡς τυφλοὶ περιπίπτοντες αὐτῇ· τί δ' οὐ μέλλομεν, ὅταν ὥσπερ ὄμματα τὴν εὐβουλίαν ἐκκόψαντες αὐτῶν τοῦ βίου τυφλὴν χειραγωγὸν B λαμβάνωμεν;

3. Καίτοι φέρε λέγειν τινὰ ἡμῶν ὡς τύχη τὰ τῶν βλεπόντων πράγματα, οὐκ ὄψις οὐδὲ 'ὄμματα φωσφόρα', φησὶν ὁ Πλάτων (Tim. 45b, 67b), καὶ τύχη τὰ τῶν ἀκουόντων, οὐ δύναμις ἀντιληπτικὴ πληγῆς ἀέρος δι' ὠτὸς καὶ ἐγκεφάλου προσφερομένης· καλὸν δ' [ἦν], ὡς ἔοικεν, εὐλαβεῖσθαι τὴν αἴσθησιν. ἀλλὰ μὴν τὴν ὄψιν καὶ ἀκοὴν καὶ γεῦσιν καὶ ὄσφρησιν καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος †δυνάμεως αὐτῶν ὑπηρεσίαν εὐβουλίας καὶ φρονήσεως ἡ φύσις ἤνεγκεν ἡμῖν, καὶ 'νοῦς ὁρῇ καὶ νοῦς ἀκούει, τἄλλα κωφὰ καὶ τυφλά' (Epich. fr. 249).